παιδεύεται κατ' Ἄργοϲ. ἐκτραφεὶϲ δ' ἐκεῖ
πρῶτον μέν, ὡϲ χρὴ τοὺϲ μετοικοῦνταϲ ξένουϲ,
λυπηρὸϲ οὐκ ἦν οὐδ' ἐπίφθονοϲ πόλει
οὐδ' ἐξεριϲτὴϲ τῶν λόγων, ὅθεν βαρὺϲ
μάλιϲτ' ἂν εἴη δημότηϲ τε καὶ ξένοϲ.
λόχοιϲ δ' ἐνεϲτὼϲ ὥϲπερ Ἀργεῖοϲ γεγὼϲ
ἤμυνε χώραι, χὠπότ' εὖ πράϲϲοι πόλιϲ
ἔχαιρε, λυπρῶϲ δ' ἔφερεν εἴ τι δυϲτυχοῖ.
πολλοὺϲ δ' ἐραϲτὰϲ κἀπὸ θηλειῶν †ὅϲαϲ†
ἔχων ἐφρούρει μηδὲν ἐξαμαρτάνειν.
Τυδέωϲ δ' ἔπαινον ἐν βραχεῖ θήϲω μέγαν·
[οὐκ ἐν λόγοιϲ ἦν λαμπρὸϲ ἀλλ' ἐν ἀϲπίδι
δεινὸϲ ϲοφιϲτὴϲ πολλά τ' ἐξευρεῖν ϲοφά.
γνώμηι δ' ἀδελφοῦ Μελεάγρου λελειμμένοϲ
ἴϲον παρέϲχεν ὄνομα διὰ τέχνηϲ δορόϲ,
εὑρὼν ἀκριβῆ μουϲικὴν ἐν ἀϲπίδι.]
φιλότιμον ἦθοϲ πλούϲιον, φρόνημα δὲ